τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. [5]καὶ 5
εἶπεν Μωυσῆς τῇ συναγωγῇ Τοῦτό ἐστιν τὸ ῥῆμα, ὃ ἐνετείλατο
κύριος ποιῆσαι. [6]καὶ προσήνεγκεν Μωυσῆς τὸν Ααρων καὶ τοὺς 6
υἱοὺς αὐτοῦ καὶ ἔλουσεν αὐτοὺς ὕδατι· [7]καὶ ἐνέδυσεν αὐτὸν τὸν 7
χιτῶνα καὶ ἔζωσεν αὐτὸν τὴν ζώνην καὶ ἐνέδυσεν αὐτὸν τὸν ὑπο-
δύτην καὶ ἐπέθηκεν ἐπ᾽ αὐτὸν τὴν ἐπωμίδα καὶ συνέζωσεν αὐτὸν
κατὰ τὴν ποίησιν τῆς ἐπωμίδος καὶ συνέσφιγξεν αὐτὸν ἐν αὐτῇ·
[8]καὶ ἐπέθηκεν ἐπ᾽ αὐτὴν τὸ λογεῖον καὶ ἐπέθηκεν ἐπὶ τὸ λογεῖον 8
τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν· [9]καὶ ἐπέθηκεν τὴν μίτραν ἐπὶ τὴν 9
κεφαλὴν αὐτοῦ καὶ ἐπέθηκεν ἐπὶ τὴν μίτραν κατὰ πρόσωπον αὐ-
τοῦ τὸ πέταλον τὸ χρυσοῦν τὸ καθηγιασμένον ἅγιον, ὃν τρόπον
συνέταξεν κύριος τῷ Μωυσῇ. [10]καὶ ἔλαβεν Μωυσῆς ἀπὸ τοῦ ἐλαί- 10
ου τῆς χρίσεως [11]καὶ ἔρρανεν ἀπ᾽ αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ἑπτά- 11
κις καὶ ἔχρισεν τὸ θυσιαστήριον καὶ ἡγίασεν αὐτὸ καὶ πάντα τὰ
σκεύη αὐτοῦ καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ καὶ ἡγίασεν
αὐτά· καὶ ἔχρισεν τὴν σκηνὴν καὶ πάντα τὰ ἐν αὐτῇ καὶ ἡγίασεν
αὐτήν. [12]καὶ ἐπέχεεν Μωυσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως ἐπὶ 12
τὴν κεφαλὴν Ααρων καὶ ἔχρισεν αὐτὸν καὶ ἡγίασεν αὐτόν. [13]καὶ 13
προσήγαγεν Μωυσῆς τοὺς υἱοὺς Ααρων καὶ ἐνέδυσεν αὐτοὺς χιτῶ-
νας καὶ ἔζωσεν αὐτοὺς ζώνας καὶ περιέθηκεν αὐτοῖς κιδάρεις, καθ-
άπερ συνέταξεν κύριος τῷ Μωυσῇ. [14]καὶ προσήγαγεν Μωυσῆς 14
τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ ἐπέθηκεν Ααρων καὶ οἱ
υἱοὶ αὐτοῦ τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου τοῦ τῆς ἁμαρ-
τίας. [15]καὶ ἔσφαξεν αὐτὸν καὶ ἔλαβεν Μωυσῆς ἀπὸ τοῦ αἵματος 15
καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ τῷ δακτύλῳ
καὶ ἐκαθάρισεν τὸ θυσιαστήριον· καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βά-
σιν τοῦ θυσιαστηρίου καὶ ἡγίασεν αὐτὸ τοῦ ἐξιλάσασθαι ἐπ᾽ αὐτοῦ.
[16]καὶ ἔλαβεν Μωυσῆς πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων καὶ 16
τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ
τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν, καὶ ἀνήνεγκεν Μωυσῆς ἐπὶ τὸ θυσιαστή-
ριον· [17]καὶ τὸν μόσχον καὶ τὴν βύρσαν αὐτοῦ καὶ τὰ κρέα αὐτοῦ 17
καὶ τὴν κόπρον αὐτοῦ καὶ κατέκαυσεν αὐτὰ πυρὶ ἔξω τῆς παρεμ-
βολῆς, ὃν τρόπον συνέταξεν κύριος τῷ Μωυσῇ. [18]καὶ προσήγαγεν 18
Μωυσῆς τὸν κριὸν τὸν εἰς ὁλοκαύτωμα, καὶ ἐπέθηκεν Ααρων καὶ
οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ. [19]καὶ 19
ἔσφαξεν Μωυσῆς τὸν κριόν, καὶ προσέχεεν Μωυσῆς τὸ αἷμα ἐπὶ

5 ο] pr. τουτο εστιν BA† || 7 αυτον $1^0$ $2^0$] -τους B*A† | τον υποδυτην] επενδυτην A† | επ αυτον] επ αυτω B*(?)†, αυτω A || 8 αυτο A† || 9 προσωπον] pr. το Bc || 11 (= 𝔐 11 + $10^2$) απ] επ A || 13 ζωναις Bc | καθα A || 14 οι > A | αυτου] ααρων A† || 15 θυσιαστηριου $1^0$ ⌒ $2^0$ B*† | το αιμα / εξεχ.] tr. A† | επ] περι A† || 16 τον bis > B*† (A deest) | επι $2^0$] απο B† || 17 και $2^0$ — αυτου $1^0$ / και $3^0$ — αυτου $2^0$] tr. A† | και $4^0$ ⌒ $5^0$ B*† | πυρι εξω] παρεξω A†